19 Σεπτεμβρίου 2014

# Ευχή εις τήν Κυρίαν Θεοτόκον

/ Ορθόδοξη πίστη



**ΕΥΧΗ**

## **ΕΙΣ ΤΗΝ ΚΥΡΙΑΝ ΘΕΟΤΟΚΟΝ**

Ἐπί ἐνοχλήσει πονηρῶν λογισμῶν.

Παναγία Δέσοινά μου Θεοτόκε, ἀποδίωξον ἀπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καί ἀναξίου δούλου σου, τήν ἀκηδίαν, τήν λήθην, τήν ἄγνοιαν, τήν ἀμέλειαν, καί πάντας τούς πονηρούς λογισμούς καί αἰσχρούς καί βλασφήμους·

ἀποσόβησον ἐκ τῆς ἀθλίας καί ταλαιπώρου μου καρδίας καί ἐκ τῆς μεμολυσμένης μου ψυχῆς καί τοῦ ἐσκοτισμένου μου νοός·

καί κατάσβεσόν μου τήν φλόγα τῶν παθῶν καί ἐλέησον καί βοήθησόν μοι, ὅτι ἀσθενής καί ταλαίπωρός εἰμι ἐγώ·

καί ρῦσαί με ἀπό τῶν ἐπερχομένων μοι πονηρῶν ἐνθυμήσεων καί προλήψεων καί πασῶν τῶν κακῶν με ἐλευθέρωσον πράξεων, τῶν ἐν νυκτί καί ἡμέρᾳ.

Ὅτι ὑπερευλογημένη ὑπάρχεις καί τό ὄνομά σου τό ἅγιον δεδοξασμένον εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

«Ὑπεραγία Θεοτόκε σῶσόν με»

**Πηγή:** hristospanagia3.blogspot.gr